μα λέγων ψηλαφᾷ αὐτήν. διαμηρίζοιμ' ἄν, συνουσιάσαιμι. Οὗ δ' ἔχει τὸ χρυσόν.] ἅμα πρὸς τὸ ποικιλόδειρον τοῦ ὀρνέου. καὶ πρὸς τὸν πολὺν κόσμον τῆς ἑταίρας. Ῥύγχος ὀβελίσκοιν ἔχει.] εἰς ὀξὺ λήγει ἡ κε- A φαλὴ ὡς ὀβελίσκος. Ἀπολέψαντα χρή.] ἀντὶ τοῦ ἀφελόντα τὸ προσωπεῖον. ὡς ἐν θυμέλῃ γὰρ προσωπεῖον ἐξῆλθεν ἔχουσα. τῇ τροπῇ δὲ ἐχρήσατο. δέον δὲ εἰπεῖν φαγεῖν εἶπε φιλεῖν.

## ΚΟΜΜΑΤΙΟΝ κώλων θ'.

Χο. Ω Φίλη, ὦ ξουθή, ὦ
Φίλτατον ὀρνέων,
Πάντων ξύννομε τῶν ἐμῶν.
Ὕμνων ξύντροφ' ἀηδοῖ.
Ἦλθες ἦλθες. ὤφθης
Ἡδὺν φθόγγον ἐμοὶ φέρου-
σ' ἀλλ' ὦ καλλιβόαν κρέκου-
σ' αὐλόν, φθέγμασιν ἠρινοῖς
Ἄρχου τῶν ἀναπαίστων.

## PARTICVLA membrorum nouem.

B *CH.* *O Dilecta, ô flaua, ô*
*Dilectissima auium,*
*Omnium compascua meorum*
*Hymnorum, connutrix luscinia*
*Venisti, venisti, visa es*
*Dulcem sonum mihi fe-*
*Rens. sed ô bene vocalem, so-*
*Nans tibiam sonis vernis,*
C *Incipe anapæsta.*

Σχόλια. Ω φίλη. ὦ ξουθή.] τὸ πρὸ τῆς παραβάσεως τουτὶ κομμάτιον κώλων ἐστὶν ἀσυναρτήτων θ ὧν τὸ α'. χοριαμβικὸν ἑφθημιμερές. τὸ β. ἡμιόλιον. τὰ γ ϛ ζ ή. ἀντισπαστικὰ γλυκώνεια. τὰ δ θ ἑφθημιμερῆ. τὸ ε. ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. ἔλυσεν δὲ Ἀριστοφάνης τὸ ζήτημα. εἰ ἡ ὄρνις προσηγορευτέρα τοῦ ἄρρενος, ἢ ὁ ἄρρην τῆς ὄρνιθος. ὡς πρὸς τὴν ἀηδόνα γὰρ δοκεῖ λέγειν. φυσικώτερον δέ τινες πρὸς τὴν μοῦσαν, ἀπὸ τοῦ μουσικοῦ ὀρνέου. Ἀλλ' ὦ καλλιβόαν κρέκουσα] ὡς αὐλὸς γάρ ἐστι φθεγγομένη. ἡ ἐξῆλθεν ἔχουσα αὐλόν. κρέκουσα νῦν, ἀντὶ τοῦ λαλοῦσα. κυρίως γάρ, τὸ τὴν κιθάραν κρούειν. πολλάκις γὰρ πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις. Ἠρινοῖς] ἐαρινοῖς εἶπε, παρόσον τῷ ἔαρι ἐν τῇ Ἀττικῇ φαίνονται ἀηδόνες. τὸ ὅλον πάλιν πρὸς τὴν μοῦσαν. ὅτι τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια.

D

## ΠΑΡΑΒΑΣΙΣ στίχων λή. καὶ κώλων ιδ'.

Χο. Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι. φύλλων γενεᾷ προσόμοιοι.
Ὀλιγοδρανέες. πλάσματα πηλοῦ. σκιοειδέα φῦλ' ἀμενηνά.
Ἀπτῆνες. ἐφημέριοι. ταλαοὶ βροτοί. ἀνέρες εἰκελόνειροι.
Προσέχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν τοῖς αἰὲν ἐοῦσι.
Τοῖς αἰθερίοις. τοῖσιν ἀγήρως. τοῖσιν ἄφθιτα μηδομένοισιν.
Ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς, περὶ τῶν μετεώρων,
Φύσιν οἰωνῶν, γένεσίν τε θεῶν. ποταμῶν τ' ἐρέβους τε χάους τε.
Εἰδότες ὀρθῶς, Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ νύξ. ἔρεβός τε μέλαν πρῶτον. καὶ τάρταρος εὐρύς.
Γῆ δ' οὐδ' ἀήρ, οὐδ' οὐρανὸς ἦν. ἐρέβους δ' ἐν ἀπείροσι κόλποις

## TRANSGRESSIO versuum triginta octo, & membrorum quatuordecim.

*CH.* *Age iam natura viri obscuri vita foliorum generatione assimiles,*
*Pauca facientes, formationes luti, vmbrosæ tribus impotentes,*
*Inuolucres, diurni, miseri homines, viri similes insomnijs,*
E *Adhibete mentem immortalibus, nobis semper existentibus*
*Æthereis, insenescentibus, incorruptibilia curantibus:*
*Vt audientes omnia à nobis recte de altis,*
*Naturam auium, generationemq́ deorum, fluuiorumq́, erebiq́, chaiq́,*
F *Scientes recte Prodico à me flere dicatis in futurum.*
*Chaos erat, & nox, erebusq́ niger primùm & tartarus latus.*
*Terra autem neq́ aer, neq́ cælum erat. erebi autem in infinitis sinibus*

Σχόλια. Ἄγε δὴ φύσιν.] ἡ παροῦσα παράβασις ἐκ στίχων ἐστὶ λή. δῆλον δὲ ὡς ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν. ἐπὶ τῷ τέλει παράγραφος. Ἀμαυρόβιοι.] γράφεται καὶ ἡμερόβιοι. Φύλλων γενεᾷ προσόμοιοι.] μετάβασις ἀπὸ τῶν ἔσω πρὸς τὸ θέατρον. ὡς θεοὶ γὰρ ἐσόμενοι προευτελίζουσι τοὺς ἀνθρώπους, παρὰ τὸ Ὁμη- G ρικόν. οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.

BISETVS. Ὀλιγοδρανέες.] Σ. ὀλιγοδρανέων, καὶ ὀλιγοδρανής, ὀλίγα ἰσχύων. Ἀμενηνά.] ἀμενηνός, ἀσθενής, παρὰ τὸ μένος, καὶ τὸ στερητικὸν α, ἀμενός, καὶ κατ' ἐπένθεσιν τῆς νη συλλαβῆς ἀμενηνός, καὶ παρ' Ὁμήρῳ ἀμενηνοὶ ὄνειροι, οἱ μὴ στερεμνίως φαντασιοῦντες